ἀρθρ. ςιχ.

εἰ σώματος σύμπηξις οὖσα τυγχάνει
ἐς πλεῖστον εὐαίσθητος, ἐντεῦθεν τ' ἄρα ἱε. 286
εὐερέθιστος εὐπαρόρμητός τ' ἄγαν,
ἧς ῥᾶον οὐκ ἂν ἠρεμήσειε σθένος
κινήσεων κἂν μικρὸν ἠρεθισμένης,
ἀλλ' ἐντυποῦται τῇδε τοὐρέθισμά πως,
καὶ δὴ διαρκεῖ τῇδε συμφὺν ὧδέ πως
ὡς τῆσδ' ἀφαιρεῖν μακρὸν ἰσομοιρίαν
κινήσεων, ἢ καὶ μεταστὰν εἰς ἔθος
τῇδ' ἐς τελευτὴν ἔσθ' ὅτε ξυνεμμένειν·
δι' ἥν περ αὖθις καίπερ ἀδρανεστέρου
τοῦ δρῶντος ὄντος, ἀντέρεισις ἔσθ' ὅτε
μακρῷ τ' ἐκείνου γίγνετ' εὐδρανεστέρα,
κοὐ ξύμμετρος τῷδ' ἐστιν, οὐδ' ἴσῳ λόγῳ,
ἀλλ' ἀντιτείνει πρὸς τόδ' ὧδ' ὀξυῤῥόπως,
ὡς καὶ χαλινοῦ δεῖσθ' ἐφεκτικωτέρου·
ὡς αὖ διὰ ξύμπηξιν αὐτὴν ἔσθ' ὅτε
ἔννωθρον οὖσαν δυσπαρόρμητόν τ' ἄγαν
καὶ νωθριᾷ πως τἀντερείσεως σθένος,
κοὐκ ἰσόμετρόν ἐστι τῇ δρῶντος βίᾳ,
ὧδ' ἀμβλύ δ' ἐστι κἀδρανῶς πρὸς τήνδ' ἔχον,
ὥστ' ὀξέος κέντρου τε προσδεῖσθ' εἰκότως·
ὅδ' αὐτός ἐστι τῶν νοσημάτων λόγος, κδ. 493
ψυχῆς ὅσα βρύουσιν ἐκ παθημάτων· η. 136
ταῦθ' ἃ σκοπεῖν ἔξεστι πολλοῖς πολλάκις.

Ἐπεὶ